# ETA SIGMA PHI 73rd Annual Greek Translation Contest (2022)

## Advanced Greek

To be written as an examination, under supervision, within a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest papers should be your pen name.

---

Aftermath of the Battle of Amphipolis (422 BCE). Burial and Honors for the Spartan Brasidas, who Replaces the Athenian Hagnon as the City's Founder.

μετὰ δὲ ταῦτα τὸν Βρασίδαν οἱ ξύμμαχοι πάντες ξὺν ὅπλοις ἐπισπόμενοι δημοσίᾳ ἔθαψαν ἐν τῇ πόλει πρὸ τῆς νῦν ἀγορᾶς οὔσης· καὶ τὸ λοιπὸν οἱ Ἀμφιπολῖται, περιείρξαντες αὐτοῦ τὸ μνημεῖον, ὡς ἥρωί τε ἐντέμνουσι καὶ τιμὰς δεδώκασιν ἀγῶνας καὶ ἐτησίους θυσίας, καὶ τὴν ἀποικίαν ὡς οἰκιστῇ προσέθεσαν, καταβαλόντες τὰ Ἁγνώνεια οἰκοδομήματα καὶ ἀφανίσαντες εἴ τι μνημόσυνόν που ἔμελλεν αὐτοῦ τῆς οἰκίσεως περιέσεσθαι, νομίσαντες τὸν μὲν Βρασίδαν σωτῆρά τε σφῶν γεγενῆσθαι καὶ ἐν τῷ παρόντι ἅμα τὴν τῶν Λακεδαιμονίων ξυμμαχίαν φόβῳ τῶν Ἀθηναίων θεραπεύοντες, τὸν δὲ Ἅγνωνα κατὰ τὸ πολέμιον τῶν Ἀθηναίων οὐκ ἂν ὁμοίως σφίσι ξυμφόρως οὐδ᾽ ἂν ἡδέως τὰς τιμὰς ἔχειν.

καὶ τοὺς νεκροὺς τοῖς Ἀθηναίοις ἀπέδοσαν. ἀπέθανον δὲ Ἀθηναίων μὲν περὶ ἑξακοσίους, τῶν δ᾽ ἐναντίων ἑπτά, διὰ τὸ μὴ ἐκ παρατάξεως, ἀπὸ δὲ τοιαύτης ξυντυχίας καὶ προεκφοβήσεως τὴν μάχην μᾶλλον γενέσθαι.

μετὰ δὲ τὴν ἀναίρεσιν οἱ μὲν ἐπ᾽ οἴκου ἀπέπλευσαν, οἱ δὲ μετὰ τοῦ Κλεαρίδου τὰ περὶ τὴν Ἀμφίπολιν καθίσταντο.

ἐφέπομαι attend, follow
περιέργω enclose, encompass
ἐντέμνω cut up a victim, sacrifice to
ἐτήσιος annual
ἀποικία colony
οἰκιστής founder
προστίθημι hand over to
καταβάλλω tear down
Ἁγνώνειος relating to Hagnon
οἰκοδόμημα building
ἀφανίζω make unseen, obliterate
μνημόσυνον memorial
περίειμι remain, survive

οἴκησις colonization
θεραπεύω pay court to
πολέμιον natural hostility
ξύμφορος advantageous
ὁμοίως in like manner

ἐκ παρατάξεως in pitched battle
ξυντυχία incident
προεκφόβησις previous panic

ἀναίρεσις taking up of the dead
καθίστημι arrange, set in order